ταῦθ', ἱκέτευον ἐμβλέπων ἀγάλματι
οὐ τῷ τυχόντι. το⟨ῦ⟩ δὲ πεπληγμένου κάτω
ἔμελεν ἔλαττον ἤ τινός μοι, πλὴν ἀεὶ
ἕλκειν ἐκεῖνον, τοῦτ' ἐνώχλ⟨ε⟩ι μοι σφόδρα·
μικροῦ γε νὴ Δί' αὐτὸν ἐξαπολώλεκα.
τὸ σχοινίον γάρ, ἐμβλέπων τῇ παρθένῳ,
ἀφῆκ' ἴσω⟨ς⟩ τρίς. ἀλλ' ὁ Γοργίας Ἄτλας
ἦν οὐχ ὁ τυχών· ἀντεῖχε καὶ μόλις ποτὲ
ἀνενήνοχ' αὐτόν. ὡς ⟨δ'⟩ ἐκεῖνος ἐξέβη,
δεῦρ' ἐξελήλυθ'. οὐ γὰρ ἐδυνάμην ἔ[τ]ι
κατέχειν ἐμαυτόν, ἀλλὰ μικροῦ [τὴν κόρην
ἐφίλουν προσιών· οὕτω σφόδρ' ἐ[νθεαστικῶς
ἐρῶ. παρασκευάζομαι δὴ—τὴν θ[ύραν
ψοφοῦσιν. ὦ Ζεῦ σῶτερ, ἐκτόπου θ̣[έας.
Γο. βούλει τι, Κνήμων; εἰπέ μοι.
(Κν.) τί [σοι λέγω;
φαύλως ἔχω.
(Γο.) θάρρει.
(Κν.) τεθάρ̣[ρηκ'· οὐκέτι
ὑμῖν ἐνοχλήσει τὸν ἐπίλοιπον γὰ̣[ρ χρόνον
Κνήμων.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416933327/49 UNIVERSITÄT LEIPZIG